ποιεῖσθαι σαφῶς εἰδώς, ὅμως οὐκ ἀποκνῶ δεῖσθαί τε καὶ προτρέπειν. οὐ μὴν ἀλλὰ καὶ τούς τε νῦν ὄντας Πελοποννησίους, ὧν τάς τε ψυχὰς οἶδα γενναίας καὶ ἔμφρονας τά τε σώματα ῥωμαλέα, γυμνοὺς δὲ ἄλλως ὅπλων καὶ ἀγυμνάστους, τὸ μὲν τῇ τῶν βαρέων ἐπιστατῶν ὠμότητι καὶ ταῖς ἀπηνέσιν εἰσπράξεσι, τὸ δὲ τῇ κρατησάσῃ τοῦ γένους μαλακίᾳ τε καὶ βλακείᾳ. τούτους τε οὖν τούς τε ἄλλοθεν ἐνταῦθα ἢ ἑκουσίως ἢ βίᾳ, ὡς εἴρηται, διὰ σοῦ μετοικήσοντας πάντας ἅμα γυμνάζειν οὐκ ἀμελήσεις καὶ πρὸς τοὺς ἀληθινοὺς ἀγῶνάς τε καὶ πολέμους στομοῦν καὶ ῥυθμίζειν. ἀλλ' ἀποδώσεις μὲν αὐτοῖς τὰ ὅπλα, κουφιεῖς δὲ τὰ βάρη καὶ τὰς ἀλόγους εἰσπράξεις, ἀναστήσεις δὲ καταπεπτωκότα αὐτοῖς τὰ φρονήματα καὶ τὴν ἀρχαίαν εὐγένειαν τῆς ψυχῆς ἀποδώσεις. τό τε γεωργικὸν τό τε στρατιωτικὸν διακρίνας ἐν μέρει καὶ ὅσον μάχιμον ἀπὸ τοῦ εἰρηνικοῦ ἐκλεξάμενος, ἑκατέρῳ ἀποδώσεις τὰ ἴδια, μίαν τέχνην, ἓν ἐπιτήδευμα μετιέναι ἑκατέροις νομοθετήσας.

6. Καὶ γὰρ ἔστι μέν τι φυσικόν, ἔστι δέ γε καὶ διδακτὸν ἡ ἀνδρεία, καὶ οὐκ M 269 ἄν τις ἄνευ μαθήσεώς τε καὶ μελέτης πρὸς ἀνδρείαν ἐπίδοσις γένοιτο. ὅθεν τούς τε εὐφυεστέρους τούς τε ἀμβλυτέρους τὴν φύσιν, πάντας ὁμοίως ἐν οἷς ἂν ἀξιόλογοι βούλωνται γενέσθαι, ταῦτα καὶ μανθάνειν ἀνάγκη καὶ μελετᾶν. ὥσπερ οὖν Δημοσθένης, τί ἂν εἴη τῶν ἐν ῥητορικῇ πρῶτον πυνθανομένου τινός, ὑπόκρισις ἀπεκρίνατο· τί ἂν εἴη δεύτερον ἢ τρίτον, ταὐτὸ ἀπεφήνατο, οὕτω καὶ τῶν ἐν πολεμικοῖς τὰ πρῶτα καὶ μέσα καὶ τελευταῖα οὐκ ἂν ἀπεικότως, μάθησίς τε καὶ ἄσκησις καὶ μελέτη εἰσίν, ῥηθείη καὶ οὐδὲν ἄλλο, ὡς ἄνευ γε τούτων οὐδὲν συντελέσει τὸ τὴν ψυχὴν πρὸς τὰ δεινὰ ἐρρωμενεστέραν γίνεσθαι φύσει. καὶ δηλοῦσιν, ὅσα τῶν γενῶν τὰ μὲν τῇ γυμνασίᾳ, τὰ δὲ τῇ ῥᾳστώνῃ εἰς αὐτὰ τἀναντία τοῖς προτέροις ἀπήχθησαν, ἢ ὅσα ἀνδρικώτατα ἐν ἑνί τινι τῶν πολέμων εἴδει ὄντα ἐν τοῖς λοιποῖς διὰ τὸ μὴ ἐθίσαι οὐδὲν ὅλως ἰσχύουσιν. Λακεδαιμόνιοι μὲν γὰρ ἄσπισι καὶ δόρασιν ἰσχύοντες ἐν πέλταις καὶ ἀκοντίοις οὐδενὸς ἄξιοι ἦσαν. Θρᾷκες δὲ πέλταις καὶ ἀκοντίοις κρατοῦντες τὸ μηδὲν ἦσαν, ἐν οἷς Λακεδαιμόνιοι ἐθαυμάζοντο. Σκύθαι δὲ τόξοις ὑπὲρ πάντας ἀνθρώπους εὐδοκιμοῦντες, ἐν οἷς Θρᾷκες ἢ Λακεδαιμόνιοι τὸ κράτος εἶχον, τούτων οὐδὲν διαχειρίζεσθαι ᾔδεσαν. καὶ αὖ, ἵνα τἄλλα πλεῖστα ὄντα παρῶ παραδείγματα, Θηβαῖοι μέν, Ἀγησιλάου συχνῶς ἐμβάλλοντος εἰς τὴν αὐτῶν καὶ κακοῦντος αὐτούς, καίτοι μὴ σφόδρα πολεμικοὶ πρότερον ὄντες, οὕτως ὑπὸ τῆς ἀνάγκης ἐγυμνάσθησάν τε καὶ τὰ πολεμικὰ ἤσκησαν, ὥστε παραμικρὸν ἐλθεῖν καὶ αὐτὴν τὴν πανταχοῦ γῆς θαυμαζομένην Σπάρτην ἑλεῖν. Λυδοὶ δέ, πολεμικώτατοι ὄντες, ὑπὸ Κύρου ἀφῃρημένοι τὰ ὅπλα, ἑορταῖς τε καὶ πανηγύρεσιν ἐθισθέντες σχολάζειν, οὕτως ἐμαλακίσθησάν τε καὶ ἐσχαυνώθησαν, ὡς γυναικῶν μηδὲν διαφέρειν. τοσοῦτον ἡ γυμνασία καὶ ἡ ἄσκησις δύναται ἢ τἀναντία.

7. Διὰ ταῦτα καὶ αὐτὸς τοὺς σαυτοῦ γυμνάσεις, ἀσκήσεις, διδάξεις τὰ τακτικά, τὰ πολεμικά, τὰ στρατιωτικά, καὶ οὕτως αὐτοὺς εἰς ἅπαντα ἔχων χρησι-

---

3 ῥωμαλέα] ῥωμαλαῖα M | 6 μετοικήσοντας *scripsi cum L* μετοικίσοντας M | 24 ῥᾳστώνῃ] ῥαστώνη *L* | 39 ἀσκήσεις M] *L om.*

Ε.Υ.Α. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

μους μεγάλα δι' αὐτῶν ἀπεργάσῃ. τῶν Πελοποννησίων κρατεῖς, τῶν Λακεδαιμονίων ἄρχεις. οἱ ὑπὸ Λυκούργου καὶ τῆς ἐκείνου νομοθεσίας, ὡς οἶδας, ἐκ παιδὸς γυμναζόμενοι τὴν Περσῶν ἐν μὲν Πλαταιαῖς ἐκ παρατάξεως κατηγωνίσαντο δύναμιν, ἐν δὲ Ἀσίᾳ μετ' Ἀγησιλάου διαβάντες εὐαρίθμητοι μετὰ μεγάλου φρονήματος ἐτροπήσαντο. ὧν εἷς ἀνὴρ Ξάνθιππος, στρατηγὸς Καρχηδονίοις πεμφθείς, τὴν Ῥωμαίων ἀκμάζουσαν τότε συνέτριψε δύναμιν, καίτοι στρατηγοῦ αὐτῶν ἡγουμένου, τοῦ καρτερικωτάτου καὶ δικαιοτάτου ἀνδρῶν, Μάρκου Ἀτιλίου· ἄλλος αὖ Γύλιππος ἐν Σικελίᾳ τὸν ἀναρίθμητον Ἀθηναίων στόλον ἠφάνισεν· Βρασίδας Χαλκιδεῖς, Ἀγησίλαος Αἰγυπτίους, Λύσανδρος καὶ Καλλικρατίδας, ἄλλος ἄλλους τῶν ἐπικαλεσαμένων αὐτοὺς διεσώσαντο. οἱ Ἀθηναίοις, πλεῖστον τῶν τότε δυναμένοις ἀνθρώπων, ὡς δεσπόται δούλοις ἐπέταττον. μετὰ τούτων ἠσκημένων καὶ γεγυμνασμένων παραταττόμενος καὶ αὐτὸς οὐδὲν ὅτι τῶν μεγάλων οὐ κατορθώσεις, τὴν Εὐρώπην ἐλευθερώσεις. τούτου γεγενημένου ἄλλος Ἀγησίλαος νέος μετὰ τῶν νέων Λακεδαιμονίων, οὓς αὐτὸς ἀναπλάσεις, ἐπὶ τὴν Ἀσίαν διαβήσῃ τὴν πατρικὴν ἀποληψόμενος πᾶσαν ἀρχήν.

**8.** Οὐ δεῖ τὴν νῦν οὖσάν σοι καταφρονεῖν δύναμιν, οὐδ' ἀπελπίζειν τὰ μείζω. οὐδὲν τῶν εἰς μέγα προβάντων δυνάμεως εὐθὺς ἐξ ἀρχῆς μέγα ἦν ἢ εἰς μέγα προκέκοφεν, ἀλλ' ὥσπερ ταῖς τῶν ζῴων γενέσασιν, οὕτω δὲ καὶ τοῖς πράγμασιν ἀρχήν, αὔξησιν καὶ τελευτὴν ἔδωκεν ὁ Θεός. ἀπὸ μικροῦ πάντα ἠργμένα, μᾶλλον δ' ἀπὸ τοῦ μηδενὸς εἰς τὸ εἶναι στρῶτον παρηγμένα, εἶτα κατὰ μικρὸν εἰς ὅσον ἐνῆν ηὔξηταί τε καὶ ἐπέδωκεν. μνήσθητι Ἀλεξάνδρου, καὶ ἀπὸ πόσης ἠργμένος δυνάμεως ἐς ὅσον προκέκοφε. μὴ ἐπιλάθῃ τοῦ Κύρου, καὶ οἷς ἐκεῖνος [M 269v] ἐπιτηδεύμασιν ἐκ μικρᾶς, ταπεινῆς τε καὶ δουλείας πάντων κρατοῦσαν τὴν πατρίδα ἐπέδειξεν. αὐτὴ δὲ αὕτη ἡ πρεσβυτέρα Ῥώμη, ὅθεν σοι ταῦτα γράφω, οὐκ ὀλίγοις καὶ ἀγενέσιν ἐξ ἀρχῆς πολίταις, ποιμέσι τε καὶ λησταῖς οἰκισθεῖσα, ἐπὶ τὰ τῆς οἰκουμένης ἔσχατα τὴν ἡγεμονίαν ὡρίσατο; ὁ δὲ Σπαρτάκειος πόλεμος οὐκ ἀπὸ ἑβδομήκοντα ἠργμένος ἀνθρώπων ἐς πολλὰς ηὔξηται μυριάδας καὶ τὴν γῆς καὶ θαλάττης ἄρχουσαν Ῥώμην ἐς τὸν περὶ ψυχῆς περιέστησε κίνδυνον; ἀλλὰ τί μοι τῶν παλαιῶν; ὁ μὲν Τεμὶρ ἐκεῖνος, ἀπὸ ληστοῦ καὶ νομάδος τῆς Περσῶν ἐπικρατήσας ἀρχῆς, ἑξήκοντα μυριάσι στρατοῦ — εἰσὶ δ' οἵ φασι καὶ ἑκατόν — κατὰ πάσης ἤλασεν Ἀσίας τε καὶ Συρίας καὶ τῶν παρακειμένων ἡμῖν Τούρκων πάντα κατακλύσας ὥσπερ τι βίαιον ῥεῦμα. αὐτοὶ δὲ οὗτοι οἱ νῦν ἡμῖν φεῦ ἐπιτάττοντες Τοῦρκοι, Ἕλλησι βάρβαροι, ἀπὸ σφόδρα ὀλίγων καὶ τοῦ μηδενὸς τῇ ἡμετέρᾳ ἐπὶ τοσοῦτον ηὔξηνται ἀμελείᾳ τε καὶ ῥᾳστώνῃ.

**9.** Φύσιν ἔχει πάντα τὰ πράγματα, θειότατε δέσποτα, ἐπιμελείᾳ μὲν καὶ μελέτῃ καὶ εὐνομίᾳ αὔξεσθαί τε καὶ ἐπιδιδόναι, τοῖς δ' ἐναντίοις ἀπομαραίνεσθαί τε καὶ σβέννυσθαι. ταῦτα μᾶλλον ἐμοῦ οἶδας· ταῦτα παντός εἰσιν ἀλη-

---

5 ἐτροπήσαντο M ἐτροπώσαντο *L* | 8 ἀνδρῶν] ἀνθρώπων *L* | 8 Ἀτιλίου] Ἀτηλίου M | 10 Κ λλικρατίδας *scripsi sec. L* Κρατίδχς M | 11 τῶν *scripsi* τῷ M *item L* | 23 ἐπιλάθῃ M ἐπιλάθου *corr. L* | 24 δουλείας *scripsi* δούλης *L*] M? | 26 ἐξ ἀρχῆς *sec. L* ἐξαρχῆς M | 29 γῆς M γῆν *L*

θέστατα· ταῦτά σου δέομαι μελετᾶν ὁσήμεραι, ταῦτα μηδέποτ' ἐκβαλεῖν τῆς ψυχῆς.

10. Ἐπεὶ δ' ἄνευ εὐνομίας τε καὶ τῆς δεούσης ταῖς πόλεσι καταστάσεως τούτων οὐδὲν ὄφελος, μᾶλλον δ'οὐδὲ ταῦτ' ἂν γένοιντο, μὴ τῆς εὐνομίας ὥς τινος θεμελίου προκαταβληθέντος· καὶ τούτου φροντιεῖς μάλιστα πάντων. καὶ τὰ μὲν πονηρὰ τῶν ἐθῶν ἀφελῇ τε καὶ περικόψεις, ἀντεισάξεις δὲ τὰ χρηστότερά τε καὶ χρησιμώτερα, νόμους τιθέμενος, διατάγματα, ψηφίσματα συγγραφόμενος. οὔτε γὰρ αὐτὸς τῶν παλαιῶν ἐκείνων ἀνδρῶν καὶ ὅσοι δημιουργοὶ γεγένηντο νόμων χείρων τι ἔσῃ βουληθείς, οὔτε τὰ ἡμέτερα ἐλάττονος εἰ μὴ καὶ μείζονος ἐπανορθώσεως δέονται ἢ τὰ ἐκείνων. καίτοι καὶ αἱ νῦν πανταχοῦ τῆς Ἰταλίας εἴτε ἀριστοκρατίαι, εἴτε δημοκρατίαι, εἴτε ἀπὸ τιμημάτων ἀρχαὶ ἑκάστοτ' ἐν τῷ καλοῦντι τῆς χρείας ἢ νέους τίθενται νόμους, ἐφ' ὅσον ἂν εἴη χρήσιμον διαρκέσοντας, ἢ τοὺς παρ' αὐτῶν ἤδη τεθέντας ὡς μηκέτι χρησίμους ἀκυροῦσιν, ὡς ἂν αὐτοῖς πρὸς τὰ παρόντα συνοίσειν δόξειεν. οὐ γὰρ ἐπαινετέον ὥσπερ τό τινας ἐκ προχείρου τολμᾶν ἀκυροῦν, μὴ μετὰ εὐλόγου τε καὶ εὐπροσώπου αἰτίας τε καὶ ἀνάγκης, οὕτως οὐδὲ τὴν σφοδρὰν ἐκείνην καὶ ἄλογον περὶ πάντα εὐλάβειαν, ᾗ οὔτε τι τῶν κειμένων μετακινῆσαι, οὔτε τῶν συνοισόντων οὐδὲν ἐκ νέου τολμῶμεν εἰσαγαγεῖν. τοῖς θείοις γὰρ τοῦτο μόνον νόμοις ἀποδοτέον, οἳ πρὸς πάντα καιρόν τε καὶ πράγματα χρήσιμοι τέθεινται. τοὺς δέ γε ἀνθρωπίνους νόμους πρὸς τὰ ἑκάστοτε ἐνεστῶτα πράγματα καὶ τοὺς τότε καιροὺς ἁρμοζομένους, τῶν πραγμάτων μεταβαλομένων κἀκείνους μεταβάλλεσθαι πάντως ἀνάγκη. καίτοι οἵ γε ἡμέτεροι νόμοι, καὶ οἷς τὸ ῥωμαϊκὸν ἅμα καὶ ἑλληνικὸν κέχρηται γένος, οὐδὲν ὅτι τῶν μετακινεῖσθαι δεόντων ἔχουσιν. ἀλλ' εἴ τι ἐλλεῖπόν ἐστι προσθετέον· καὶ τὰ πονηρὰ ἔθη καὶ ἃ αὐτοὶ τῇ ἡμῶν αὐτῶν εἰσηγάγομεν βλακείᾳ καὶ μοχθηρίᾳ, ἐκεῖνα ἀποκοπτέον· ἃ εἰ καὶ πάλαι ποτὲ φορητὰ ἦσαν, τοῦ γένους εὐδαιμονοῦντος καὶ μὴ πάνυ τοι πολλῆς δεομένου τῆς θεραπείας, ἀλλὰ καὶ τότε εἰ τούτων ἀπείχοντο, οὐκ ἂν εἰς τὰς δυστυχίας ἐξώκειλαν· καὶ νῦν ἀναγκαιότατα αὐτῶν ἀφεκτέον ἐστίν, εἴ γε μὴ μέλλοιμεν τέλεον ἀπολέσθαι, ἀλλὰ τά τε ὄντα σῶσαι, τά τε ἀπολωλότα ἐπανακαλέσασθαι.

11. Περικοπτέον τὴν ἐν χρυσῷ καὶ ἀργύρῳ, τὴν ἐν σηρικοῖς ἱματίοις καὶ διαχρύσοις, τοῦτο μὲν ἀνδρῶν, τοῦτο δὲ γυναικῶν, εἴτε ἐν κουλεοῖς, εἴτε ἐν ἐφιππείοις, εἴτε ἐν ὁποιοισδήποτε σκεύεσι πολυτέλειαν, τὴν ἐν πλήθει θεραπαινίδων, τὴν ἐν ταῖς τῶν φρενῶν ἐπιδόσεσιν ἀλογίαν, τὴν ἐν ἑορταῖς, τὴν ἐν γάμοις, τὴν ἐν ταφαῖς τε καὶ κήδεσι, τὴν ἐν οἰκοδομήμασι, τὴν ἐν τῇ λοιπῇ διαίτῃ δαπάνην. οὕτω γὰρ ἂν οὐ προδοσίαν, οὐ δωροδοκίαν, οὐ μαλακίαν
M 270 οὐδεμίαν φοβηθησόμεθα κακουργίας. γνώτωσαν ἀρετῇ τιμώμενοι, οὐ πλούτῳ οἱ ἄνθρωποι, μὴ πλουτίνδην, ἀλλ' ἀριστίνδην ἐπὶ τὰς ἀρχὰς ἐκλεγέσθωσαν, καὶ τὸ πρωτεῖον ἀρετῇ μετίτωσαν, ὡς ἄλλης ἑτέρῳ πρὸς ἕτερον οὐκ οὔσης διαφορᾶς οὐδὲ ἀνισότητος, πλὴν ὅσην αἰσχρῶν ψόγος ὁρίζει καὶ καλῶν ἔπαινος.

---

13 αὐτῶν M αὐτῇ *L* | 22 μεταβαλομένων M μεταβαλλομένων *L* | 25 αὐτῶν M] *L* *om.* | 26 ἐκεῖνα M ταῦτα *L* | 40 ὅσην M ὅσων *L*

Ε.Ε.Δ της Κ.Ε.Π. ΙΩΑΝΝΙΝΑ 2006

πᾶσι τούτοις οἱ πρὶν νομοθέται ἐπέστησαν, πάντων ἐφρόντισαν. μηδεμιᾷ ἐξεῖναι ἢ πόρναις χρυσὸν φέρειν, μηδεμιᾷ καὶ τῇ εὐγενεστάτῃ, εἰ μὴ μεθύοι, πλείους μιᾶς θεραπαινίδας ἕπεσθαι ὁ παρὰ Θουρίοις γενόμενος νομοθέτης Ζάμολξις ἔθετο, καὶ τούτοις καὶ ἄλλοις ὁμοίοις τὴν πολυτέλειαν ὡς πορρωτάτω ἀπήλασεν. οἶδας, οἷς Σόλων, οἷς ὁ Λυκοῦργος, οἷς ὁ Νουμᾶς νομοθετήμασί τε καὶ διατάγμασι τὴν φιλοχρηματίαν ἀνεῖλεν· οἵ γε καὶ τοῖς θεοῖς τὰς θυσίας ξυλίνοις καὶ πηλίνοις διωρίσαντο προσφέρεσθαι σκεύεσιν. οὐκ ἔστι πολλῶν δεομένους μὴ πολλὰ ἁμαρτάνειν, μὴ πολλοὺς ἀδικεῖν, μὴ πολλοὺς τὰ ὄντα ἀφαιρεῖν. ὧν ἐξ ἀνάγκης ἑκάτεροι, οἱ μὲν πενίᾳ συντετριμμένοι, οἱ δὲ βλακείᾳ διατεθρυμμένοι εἰς οὐδὲν οὔτε ἑαυτοῖς οὔτε τοῖς κρατοῦσιν ὅλως εἰσὶ χρήσιμοι καὶ προσέτι τῇ τοσαύτῃ πολυτελείᾳ μόλις ὀλιγίστοις πάμπλειστοι ἐξαρκοῦντες, οἱ μὲν ἀνδραπόδων οὐδὲν βελτίους εἰσίν, οἱ δὲ καὶ εἴ τι ἰσχύουσι, τῇ ὀλιγότητι ὅμως οὐδὲν ὅτι καὶ ἄξιον λόγου διαπράξασθαι ἔχουσιν. ὡς ἂν οὖν καὶ πλείστους ἅμα καὶ ἀρίστους τοὺς αὐτοὺς ἔχοις. μεγάλου σοι ἀγῶνος, μεγάλης ἐπιμελείας δεήσει. μνήσθητι τῆς περὶ τὸ νόμισμα Λυκούργου νομοθεσίας, καὶ ὡς μέχρι τοσούτου τὰ τῆς ἀρετῆς ηὔξησε Λακεδαιμονίοις, καὶ τῆς ἄλλης Ἑλλάδος ἐπρώτευον εὐνομίᾳ καὶ δόξῃ, μέχρις ἀργύρῳ καὶ χρυσῷ ἡ πόλις ἄβατος, καὶ ὡς ἅμα τε ὁ χρυσὸς καὶ ἄργυρος παρεισηφθάρη τῇ πόλει, καὶ τὸ τῆς πολιτείας ἐκείνης ἀκμαῖον ἠμβλύνθη καὶ κατὰ μικρὸν παντελῶς ἀπερρύη.

Ταῦτα διὰ τοῦτο γέγραπται, διὰ τοῦτο ἀναγινώσκομεν, ἵν' ὠφελώμεθα, 12.
ἵν' ἐν καιροῖς ἀναγκαίοις μιμώμεθα, ἵν' ἐν νενοσηκόσι τοῖς πράγμασιν ἐκεῖθεν ἐκλεγώμεθα θεραπείαν. μᾶλλον ἐμοῦ ταῦτα καὶ τούτων ἔτι πλείω οἶδας, πολλὰ ἀναγνοὺς κἀν τῇ ψυχῇ παρακαταθέμενος. χρῶ τῷ θησαυρῷ· μιμήθητι ἃ τιμᾷς· ἔργασαι ἅπερ θαυμάζεις. εἰ μὴ πάντα δυνήσῃ μηδ' οὕτως εἰς αὐστηράν τε καὶ ἄκρατον ἀναγαγεῖν πολιτείαν, ἀλλ' οὐκ ὀλίγον τοῦ παντὸς κατορθώσεις ἀρξάμενος. ἥμερον τὴν φύσιν τὸ τῶν Ἑλλήνων ἐστὶ γένος, ἐπιμελητικὸν ἀρετῆς, μιμητικὸν τοῦ καλοῦ, φύσει γενναῖόν τε καὶ φιλότιμον, πρὸς πᾶσαν παιδείαν ἕτοιμόν τε καὶ πρόχειρον. ἀγαθοῦ μόνον δεῖ κορυφαίου καὶ διδασκάλου, οἷος αὐτὸς εἶ, καὶ πρὸς πάντα εὐθὺς εὐπειθεῖς ἕψονται. εἴ τι γὰρ ἐν τούτοις τὰ νῦν ἁμαρτάνουσι, διὰ τοῦτο σφάλλονται, διότι κοινόν ἐστι τὸ κακὸν καὶ ταῦτα παρὰ τῷ γένει τιμᾶται. ἅτε οὖν μεγαλόφρονες καὶ τιμῆς ὀρεγόμενοι ἐκείνοις σχολάζουσι μὴ βουλόμενοι, οἱ πλείους δέ γε καὶ μὴ δυνάμενοι, ἃ κακῶς μέν, τιμᾶται δὲ ὅμως, ὡς ἐὰν αὐτοῖς, ἥτις ἡ ἀληθής ἐστι τιμή, ἐν λόγῳ δειχθείη — ἴσασι γὰρ φρονήσει κεκοσμημένοι — ἀλλ' ⟨εἰ⟩ ἔργῳ φανείη, παρὰ πρώτων αὐτῶν τῶν κρατούντων μελετωμένη, ῥᾷστα πάντες ἀκολουθήσουσι. πολλοὺς γὰρ ἐγὼ τῶν ἐν τέλει καὶ λόγου ἀξίων ἀχθομένους μὲν ἐφ' οἷς πράττουσιν οἶδα καὶ σφᾶς μεμφομένους, διὰ δὲ τὴν κοινὴν ὅμως κακοπολιτείαν, ἃ μὴ σφόδρα βούλονται, πράττοντας.

---

1 νομοθέται M νομωθέτας *L* | 3 θεραπαινίδας M θεραπαινίδος *L* | 6 ἀνεῖλεν M ἀνεῖλον *L* | 10 διατεθρυμμένοι *scripsi sec. L* διατεθριμμένοι M | 21 ἀναγινώσκομεν *scripsi cum L* ἀναγινώσκωμεν M | 21 ἵν' M ἵνα *L* | 24 κἀν M καὶ *L* | χρῶ] Χρῷ *L* | 35 ἀλλ' ⟨εἰ⟩ ἔργῳ] ἀλλ' ἔργῳ M ἀλλ' εἰ ἔργῳ *L*

13. Σὸν οὖν ἐστιν ἡγεμονικώτατε ἄνερ, κανόνας αὐτοῖς βίου καὶ στάθμην παραδόντα, τὴν εὐνομωτάτην Λακεδαιμονίων πολιτείαν ἐπανασώσασθαι. καὶ γάρ, εἰ μὴ φιλόσοφος γεγονὼς ἐβασίλευσας, ἀλλὰ βασιλεὺς ὢν ἐφιλοσόφεις τε καὶ φιλοσοφῶν οὐ πάντῃ. διὸ τὸ μὲν τοῖς πολεμικοῖς, τὸ δὲ τοῖς εἰρηνικοῖς M 270v καὶ πολιτικοῖς πολιτεύμασι, τὴν θρυλλουμένην ἐκείνην εὐδαιμονίαν ἀποδώσεις ταῖς πόλεσι καὶ τὸ ἀΐδιον ὄνομά τε καὶ εὔκλειαν ἕξεις καὶ ζήσεις παρὰ τῇ μνήμῃ τῶν ὀψιγόνων ἀνθρώπων ἀθάνατος, οὐδὲ συναποθανεῖταί σου τῷ σώματι ἡ φήμη τε καὶ τὸ ὄνομα ὡς τῶν πλείστων βασιλέων τε καὶ ἀρχόντων, ἀλλὰ τῇ νῦν εὐφημίᾳ ἀνάλογον καὶ τὴν μετὰ θάνατον εὔκλειαν ἕξεις, ἃ παντὸς ἀργύρου τε καὶ χρυσοῦ πρότερα ποιεῖσθαι ἀνάγκη. τίνα γὰρ οἴει περὶ σοῦ τὰ νῦν λέγεσθαί καὶ τίνα περὶ σοῦ τοὺς ἀνθρώπους δοξάζειν; τοιαῦτα τῷ ὄντι καὶ τοσαῦτά εἰσιν, ὡς μεγάλης ἀγρυπνίας καὶ πόνων σοι δεῖν ταῖς αὐτῶν ὑπολήψεσιν ἀποδοῦναι τὰ ἔργα συμβαίνοντα, καὶ μάλιστα νῦν, ὅτε δυνάμεως καὶ τόπου ἐπικαίρου ἐπιλαβομένου σου οὐκ ἔτι ἐν ἐλπίσι τὰ σὰ ὡς καὶ πρότερον ἦσαν, ἀλλ' ἤδη πάντες τὰ ἔργα ἐκδέχονται καὶ ταῖς αὐτῶν ἐλπίσιν ἀπαιτοῦσι τὰς πράξεις ἀναλογούσας. καίτοι τί μεῖζον ἂν ᾔτησας ἐνταῦθα παρὰ Θεοῦ ἀγαθὸν ἢ τοιαύτην περὶ σοῦ τῶν ἀνθρώπων φήμην κατασκευασθῆναι; τοῦτο γάρ σε ποθεινὸν τοῖς οἰκείοις, τοῦτο φοβερὸν πολεμίοις ἐργάσεται· τοῦτο τὰ ἡμῶν μὲν αὐξήσει, ἐλαττώσει δὲ τὰ ἐχθρῶν· τοῦτό σε ἀμείωτον ἀνάγκη διατηρεῖν καὶ παντὶ τρόπῳ αὔξειν τε καὶ πολλαπλασιάζειν πειρᾶσθαι. δόξαις καὶ ὑπολήψεσιν ὡς τὰ πολλὰ τὸ τῶν ἀνθρώπων ἄγεταί τε καὶ φέρεται γένος, καὶ ταῖς θαυμασταῖς ταύταις ἢ καταβαλλόμενοι καὶ πληττόμενοι τὴν ψυχὴν φήμαις οὐδ' ἀντιβλέψαι τολμῶσιν, ἢ θαυμάζοντες, ὡς θεῖόν τινα καὶ ὑπὲρ ἄνθρωπον οἴονται τὸν περὶ οὗ ταῦτα λέγεται. ὅθεν πολέμιοί τε αὐτῷ ὑπεξίστανται πάντες, οἵ τε οἰκεῖοι μετ' εὐκοσμίας ἐν ἅπασιν εἴκουσιν. διὸ καὶ τῶν μὲν νομοθετῶν οὐκ ὀλίγοι θεῶν ὁμιλίας καὶ συνουσίας, τῶν δὲ στρατηγῶν οἱ μάλιστα διαβόητοι συγγενείας αὐτῶν ἑαυτοῖς ὑπεκρίναντό τε καὶ διεφήμισαν, καὶ τούτοις οἱ μὲν τὴν ἡγεμονίαν, οἱ δὲ τὴν νομοθεσίαν ἐπλάτυνάν τε καὶ ἐβεβαίωσαν. ταύτην οὖν ἐκεῖνοι τὴν περὶ ἑαυτῶν δόξαν, καίτοι μὴ ἀληθῆ οὖσαν, συνέχειν τε καὶ αὔξειν πάντα μηχανώμενοι τρόπον, πειθέτωσαν καὶ σὲ τὴν περὶ σοῦ δόξαν καὶ οὐ μεγάλην μόνον, ἀλλὰ καὶ ἀληθῆ τῶν ἀνθρώπων ὑπόληψιν κραταιοῦν τε καὶ βεβαιοῦν καὶ πολλαπλασιάζειν πειρᾶσθαι, ὡς τούτου μεῖζον οὐκ ἂν πρὸς τὰ μέλλοντα ἐφόδιον ἕξοντα.

14. Περί γε μὴν τὴν σῆς χώρας ἐπιμέλειάν τε καὶ τὴν τῶν καρπῶν φυλακὴν καὶ τῶν μὲν περιττῶν ἐξαγωγὴν καὶ διάθεσιν τῶν δ' ἀναγκαίων τε καὶ οὐ πάνυ ἀφθόνων συντήρησιν ἀντεισαγωγήν τε τῶν ἐλλειπόντων, τὰ μάλιστα μὲν ἀναγκαιοτάτην οὖσαν, κακῶς δὲ καὶ αὐτὴν ἔχουσαν, φροντήσεις, ὡς οἶμαι, ἀξίως καὶ τὴν τοῦ σίτου μάλιστα κωλύσεις ἐξαγωγήν· καὶ ἡ περὶ ταῦτα, ὡς οὐκ ὤφελεν, ἀνταξία τηρεῖται, ᾗ πεινῶσι μὲν οἱ ἡμέτεροι, ἐμπιπλῶνται δὲ οἱ ἀλλότριοι, ταύτην ὡς βλαβερὰν διαλύσεις. καὶ τοῦτο γὰρ οὐδεμία ἐστὶν οὕτω σμικρὰ πόλις ἐν Ἰταλίᾳ, οὐδεὶς οὕτως ἀσθενὴς ἄρχων καὶ ταπεινός, ὡς μὴ

---

24 λέγεται M λέγονται *L* | 33 τὰ μέλλοντα M τὸ μέλλον *L* | 34 σῆς M] *L om.*

ΙΩΑΝΝΙΝΑ 2006

φυλάττειν ἐν τῇ ἰδίᾳ ἀρχῇ δεῆσαν. καίτοι τί λέγω τὸν σῖτον οὕτως ἀναγκαιότατον ὄντα, καὶ οὗ ἄνευ ζῆν οὐκ ἔστι; τὰς τέχνας αὐτάς, καὶ τούτων οὐ τὰς πρὸς τἀναγκαῖα, πρὸς δὲ διαγωγὴν ἢ χρηματισμὸν μόνον φερούσας ὁρῶμεν μετὰ πόσης ἐπιμελείας παραφυλάττουσιν ἕκαστοι καὶ ὥστε μὴ ἑτέροις διαδοθῆναι οὐδέν, ὅτι οὐ μηχανῶνται. ἡμεῖς δὲ αὐτοὶ ἐνίοτε λιμώττοντες τὸν σῖτον τῷ βουλομένῳ παντὶ συγχωροῦμεν ἀλογίστως ἐξάγειν.

**15.** Ἐπὶ τούτοις καὶ τὸ χρῆμα τῶν λόγων, ᾧ μόνῳ τῶν θηρίων ἄνθρωπος διαφέρει καὶ τῶν βαρβάρων Ἕλληνες διακρίνονται, ἐν οἷς ποτε τὸ ἡμέτερον ἤκμακε γένος, κἀξ ὧν πᾶσα ἐπιστήμη καὶ γνῶσις καὶ τέχνη ἐβλάστησέ τε καὶ ἤνθησεν, ἀποδώσεις αὖθις τῷ γένει, θειότατε δέσποτα, καὶ οὐκ ἀνέξῃ τοσαύτῃ ἀλογίᾳ συνέχεσθαι, ὡς ἀπαιδεύτους καὶ ἀμαθεῖς παρὰ τοῖς ἄλλοις νομίζεσθαι, καὶ ταῦτα τοῖς παρ' ἡμῶν πάντα παραλαβοῦσιν, καὶ διδασκάλων μὲν ἐκείνους οἴεσθαι χώραν, ἡμῶν δὲ μαθητῶν δεῖν ἐπέχειν, κἀκείνους μὲν ἐκ τοῦ ὑπερέχοντος ὥσπερ νομοθετεῖν, ἡμᾶς δὲ αἷς ἀνδράποδα ἕπεσθαι, καὶ ταῦτα οὐκ ἀρχηγοὺς μόνον καὶ εὑρετάς, ἀλλ' ἤδη καὶ τελειωτὰς πάσης σοφίας γεγενημένους, μάρτυσιν αὐτοῖς τούτοις τοῖς νῦν κατεπαιρομένοις ἡμῶν. μικροῖς τόνοις, οὐ πολλοῖς ἀναλώμασιν ἀπολωλότας ἀνακαλέσῃ τοὺς λόγους, τὴν σοφίαν ἐπανασώσῃ τῷ γένει· μεγάλης γὰρ εὐφυΐας, ὀξείας εἰσὶν ἔτι καὶ νῦν διανοίας οἱ ἡμέτεροι νέοι, ὥστε, εἰ κατὰ τρόπον διδάσκοιντο, μεγάλη ἐλπὶς αὐτοὺς ἐν βραχεῖ M 271 ἐπιδώσειν εἰς μέγα σοφίας. διδάσκοιντο δ' ἂν ὡς δεῖ, εἰ τούς τε παρὰ Λατίνοις τῶν ἡμετέρων δεδιδαγμένους διδασκάλους τις αὐτοῖς ἐπιστήσειεν — εἰσὶ δ' οὗτοι πολλοί τε καὶ καλοὶ νεανίαι — ἄλλους τε ἐπίτηδες εἰς Ἰταλίαν πέμψας διδάξαιτο, εἶτα ἐπανελθόντων εἰς τὴν πατρίδα, δι' αὐτῶν καὶ τοὺς ἄλλους παιδεύσειεν. παρὰ γὰρ Λατίνων τήν ποτε φεῦ ἡμετέραν παραλαβόντες σοφίαν ἢ καὶ ληψόμενοι, καὶ οὕτω παραλαβόντες, ὡς αὐτοί ποτε οἱ ἡμέτεροι αὐτὴν παρεδίδουν, ἱκανοί εἰσι καὶ ἄλλους διδάξαι καὶ ὁμοίους ἀποτελέσαι, ὥστ' οὐκ ἐν πολλῷ τοὺς παραδόντας νικῆσαι. οὐ δεῖ δ' αἰσχύνῃ τὴν τοῦ καλοῦ τούτου θήραν ἀπολιπεῖν, ἐπεί, εἰ καὶ Λατῖνοι ᾐσχύνθησαν παρ' Ἑλλήνων ἃ μὴ αὐτοὶ εἶχον παραλαβεῖν, οὐκ ἂν εἰς τόδε σοφίας προήχθησαν. ἡμεῖς δὲ οὐδὲ ἀλλότριόν τι ληψόμεθα, ἀλλὰ τὰ αὐτῶν παρὰ τῶν ὀφειλόντων ἀποληψόμεθα· ὀφείλουσι γὰρ ὄντος τοῦ ἀπαιτοῦντος ἀποδοῦναι, ἃ μὴ ἀπέλαβον, ἀλλὰ ἔλαβον.

**16.** Οὐκ ἄδηλον δὲ ὡς τῶν λόγων ἐπαναστᾳθέντων ἡμῖν καὶ αἱ ἐντεῦθεν βλαστήσασαι τέχναι καὶ ὅσαι πρός τε τὸ ζῆν, πρός τε φυλακὴν ἢ ἄμυναν ἀναγκαῖαι, ὅσαι πρὸς τῆς σοφίας καὶ τῶν ἐν αὐτῇ διαβοητῶν γενομένων ἡμετέρων τε καὶ Ἑλλήνων εὑρεθεῖσαι ἡμῖν παρεδόθησαν, αὖθις ἐπανελεύσονται πρὸς ἡμᾶς ἅμα μετὰ σοφίας, ὥσπερ ἀφ' ἡμῶν ἀπολομένῃ συναπώλοντο τῇ σοφίᾳ. ὧν ὅμως οὐκ ὀλίγαι παρὰ Λατίνοις ἔτι καὶ νῦν σώζονται.

**17.** Ἐπεὶ μέντοι κεχώρισται τῆς αἰσθήσεως ὁ λόγος καὶ ἡ ἀπὸ τῶν νοητῶν ἐπὶ τὰ σωματικὰ τροπὴ τῶν τεχνῶν οὕτω διῴκισται, ὡς διακεκριμένας δοκεῖν ἀπ' ἀλλήλων, καὶ πολλοὺς τῶν λόγων ἐπιστήμονας ὄντας οὐδὲν εἰδέναι τῆς πράξεως, τοὺς δὲ πράττειν εἰδότας καὶ κατὰ λόγον ποιοῦντας ἀγνοεῖν ὅμως

---

2 αὐτάς M αὐτὸς *L* | 21 ἡμετέρων M ἡμετέραν *L*

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸν λόγον, καλὸν ἂν εἴη καὶ τούτων ποιήσασθαι λόγον καί τινα ἐκλεξάμενον νέους εἰς Ἰταλίαν πέμψαι τῶν τεχνῶν μαθησομένους τὰς ἀναγκαίας. ἐπεὶ διὰ λόγου μὲν πρὸς ταῦτα ἐλθεῖν τῶν σπανιωτάτων τε καὶ μοναδικῶν, δι᾽αἰσθήσεως δέ γε καὶ πράξεως ῥᾷστά τε καὶ οὐ πολλῷ χρόνῳ ἔστιν αὐτὰς διδαχθῆναι.

18. Αὐτίκα τὴν ὀργανικήν τε καὶ μηχανικήν, ᾗ βάρη τε ἕλκεται καὶ καταφερόμενα ῥᾷστα πλήττει τε καὶ λεαίνει τὰ τούτων δεόμενα, ξύλα πρίζεται αὐτομάτως, μύλωνες τάχιστά τε καὶ ὡς ἔνεστιν ὀξύτατα κινοῦνται, οἵ τε φυσητῆρες τῶν ἐν χωνείαις καὶ διακρίσεσι τῶν μετάλλων ἀσκοὶ ἐντεινόμενοί τε καὶ ἀνιέμενοι, μηδεμιᾶς χειρὸς ὑπουργούσης, τὰ μέταλλα τῆς ἐνούσης μοχθηρᾶς τε καὶ γεώδους διακρίνουσιν ὕλης· τήν τε ποίησιν τοῦ σιδήρου, οὕτω μὲν οὖσαν χρήσιμον, οὕτω δὲ ἀναγκαίαν ἀνθρώποις, ὡς ἄνευ αὐτοῦ μὴ τὰ πολεμικά, μὴ τὰ εἰρηνικά τε καὶ πολιτικὰ δύνασθαι καλῶς ἔχειν, ἐνταῦθά τις ἂν εὐχερῶς καταμάθοι. ἤκουον δὲ καὶ τὴν Πελοπόννησον, καὶ μάλιστα τὰ περὶ τὴν Σπάρτην αὐτὴν εἶναι πλήρη μετάλλων σιδήρου, τούτου δὲ μόνου τῶν ἀναγκαίων αὐτὴν εἶδος φερομένην καὶ χρήζειν ἑτέρωθεν. τήν γε μὴν τῶν ὅπλων κατασκευήν τε καὶ ποίησιν, τῶν τε φυλακτικῶν, τῶν τε ἀμυντηρίων, ὧν ἄνευ οὐκ ἂν τὰ πολεμικὰ καλῶς γίγνοιντο, καλῶς ποιήσεις σαυτῷ καὶ τοῖς Ἕλλησι περιποιησάμενος, καὶ μάλιστα εἰ σιδήρου μέταλλα ἐν τῇ χώρᾳ ἔχεις καὶ τοὺς τοῦτο ἐργασομένους προσκτήσῃ.

19. Οὐ μὴν ἀλλὰ καὶ τὴν ναυπηγικήν, ὅση τε περὶ τὰς μακρὰς καὶ τριήρεις, ὅση τε περὶ τὰς φορτηγοὺς καὶ στρογγύλους καταγίνεται νῆας, ὧν πλείστην ἐν Πελοποννήσῳ καὶ καλλίστην ἔχετε ὕλην, ὡς τὰ μέγιστα ὠφελήσουσαν, οὐκ ἀπεικότως περὶ πλείστου ἡγήσῃ.

20. Ταύτας τέτταρας τέχνας, ἄριστε δέσποτα, μηχανικήν, σιδηροποιητικήν, ὁπλοιοποιητικὴν καὶ ναυπηγικήν, ὡς ἀναγκαίας τε καὶ χρησίμους τοῖς εὖ ζῆν ἐθέλουσιν, διὰ τεττάρων ἢ ὀκτὼ νέων ἐνταῦθα μετὰ τοῦ προσήκοντος τρόπου καὶ ὡς ἂν μὴ πολλοῖς εἶεν καταφανεῖς παραγενομένων ἐς Ἑλλάδος
M 271v μεταγαγεῖν δυνηθήσῃ καὶ δικαιώσεις τοῖς ἡμετέροις. εἰσὶ μέντοι καὶ ἄλλαι τέτταρες ἀξίαι λόγου, ἡ τοῦ ὑλίου, ἡ τῶν σηρικῶν, ἡ τῶν ἐξ ἐρίου ποίησις ἱματίων καὶ προσέτι ἡ τούτων ἀμφοτέρων βαφή, περὶ ὧν ὅμως, ὡς οὐ πρὸς ἀνάγκην, ἀλλὰ πρὸς τρυφὴν καὶ διαγωγὴν μᾶλλον ἀνθρώποις ἐξευρημένων, οὐ πολὺν λόγον ποιοῦμαι πρὸ τοῦ τῶν ἀναγκαίων τυχεῖν. ἱκανῶς ἕξει τὰ νῦν. ἐκείνας τὰς τέτταρας κτήσασθαι, περὶ ὧν σφόδρα σου δέομαι καὶ ἀντιβολῶ, τὸ πρέποντα λόγον ποιήσασθαι. ἀνερευνήσας τοίνυν καὶ πρῶτον καὶ ἀκριβῶς ἐξετάσας, εἴπερ ἐστὶν ἀληθές, ὅπερ ἤκουσα πολλάκις, σιδήρου μέταλλα περὶ τὴν Σπάρτην καὶ τὸ Ταΰγετον εὑρίσκεσθαι, δίδαξαι τὴν αὐτοῦ ποίησιν τοὺς ἰδίους, πρὸς Θεοῦ καὶ τῆς σῆς βασιλείας, νέους τινὰς μήτε παρηκμακότας μήτε σφόδρα ἁπαλούς, ἀλλὰ μέσους τινάς, οἳ καὶ τὴν γλῶτταν μαθήσονται ὡς συνεῖναι τῶν λεγομένων, ἐνταῦθα ἐξαποστείλας, πρὸς ὃ οὐκ ὀλίγον καὶ ἡ ἐμὴ παρουσία ἐνταῦθα συνοίσει.

---

1 τινα M τινας *L* | ἐκλεξάμενον M ἐκλεξάμενος *L* | 5 ᾗ M ἡ *L* | 6 πρίζεται M πρίζονται *L* | 8 τῶν μετάλλων M ⟨τῶν⟩ μετάλλων *L* | 10 γεώδους M ῥεούσης *L* | 19 τοῦτο M τοῦτον *L* | 21 στρογγύλους M στρογγύλας *L* | 28 δικαιώσεις M διαδώσεις *L*

ΙΩΑΝΝΙΝΑ 2006

Ταῦτα μακρότερα μὲν ἢ κατ' ἐπιστολὴν εἴρηται, ἐπέκεινα δὲ ἴσως καὶ 21.
παρὰ τὸ καθῆκον ἡμῖν, ὥστε καὶ δέδια, μὴ γέλωτα προσοφλήσω. ἀλλὰ τούτου πρῶτα μὲν τὴν σαυτοῦ φιλανθρωπίαν, ᾗ πεποιθὼς οὕτω τοὺς λόγους ἐμήκυνα, ἔπειτα δὲ καὶ τὴν ἐμὴν περὶ τὸ γένος διαίθεσιν, δι' ἣν πάντων μὲν ἂν ἀνθρώπων ἐβουλόμην αὐτὸ βασιλεύειν, πάντων δὲ πάσαις ἀρεταῖς ὑπερέχειν, αἰτίαν ἡγοῦ. ἄλλως τε πολλῶν αὐτῷ καὶ σοὶ ὀφειλέτης ὑπάρχων, ἐπεὶ μὴ παρὼν ἄλλως ὑμῖν ὑπουργεῖν καὶ διακονεῖν ἔχω τὰ δυνατά, καίτοι μηδ' ἐνταῦθα ὑμῖν, εἰρήσθω δὲ σὺν Θεῷ ἄχρηστος ὢν ἢ ὑπάρξας, οἷς ὅμως δύναμαι λόγοις καὶ συμβουλαῖς, ἐκτίνω τι τοῦ χρέους, ὡς ἂν πλεῖστα δύνωμαι, καὶ μάλιστα εἰδὼς ἐκεῖνα λέγειν, ἃ ἐκ μακροῦ αὐτὸς διανοῇ καὶ διανοούμενος τελέσεις ποτέ, καὶ τελέσας ἀρίστην τε καὶ ἀκαταγώνιστον ἀπεργάσῃ σὺν Θεῷ πολιτείαν. ὅτι μὲν γὰρ τῶν προειρημένων γενομένων ἁπάντων εὐδαιμονέστατος ἡμῖν βίος ὑπάρξει, οὐδεὶς ἀμφιβάλλει· ὅτι δὲ καὶ αὐτὸς ταῦτα ἐγκρίνεις καὶ πολλάκις ἀνελογίσω καὶ ἥδιστα ἂν πράξειας καιροῦ λαβόμενος, οὐδεὶς ἀγνοεῖ τῶν εἰδότων σου τὰ φρονήματα. λείπεται τοίνυν ἡμᾶς μὲν μακρὰν ἐκ Θεοῦ σοι ζωὴν καὶ δύναμιν εὔχεσθαι, ᾗ δυνηθήσῃ τελέσαι σου τὰ νοήματα, σὲ δ' ἐκεῖνον ἐπικαλεσάμενον παραστάτην πρὸς ἔργα χωρῆσαι, μηδὲν ταπεινὸν φρονοῦντα ἢ λογιζόμενον· ὅς σοι παρείη συνεργός, βοηθὸς καὶ συνέριθος καὶ μέγαν σε βασιλέα ἐπὶ γῆς καταστήσας, μετέπειτα καὶ τῆς ἑαυτοῦ μεταδοίη δόξης τε καὶ λαμπρότητος.

## 14. Bessarion Cardinalis Capitulo, Canonicis et Capellanis Ecclesiae Duodecim Apostolorum de Urbe.

Quoniam effrenata hominum cupiditas et noxius appetitus semper ad malum sua labilitate declinans, nisi sub iuris et rationis regula limitetur, prava quadam abusione et corruptela bene beateque vivendi iustum ordinem corrumpit, sicque passim divina pariter et humana instituta aequissima depereunt, idcirco volentes ad honorem et laudem altissimi omnium creatoris, apostolorum quoque Philippi et Jacobi, quorum corpora in eadem ecclesia recondita sunt, et aliorum apostolorum, sub quorum nominibus dicta ecclesia consecrata est, proque am-

21 *Suprascriptio:* Bessarion, miseratione divina SS. XII Apostolorum de Urbe presbyter cardinalis, dilectis nobis in Christo capitulo, canonicis et capellanis dictae ecclesiae salutem in Deo sempiternam.

Ep. 14. Mit diesem Schreiben ließ Bessarion dem Kapitel von XII Apostoli bald nach dessen Neuordnung durch Eugen IV am 19. Februar 1444 die neuen Statuten zugehen. Vgl. Band I 249 f.

Ausgabe nach dem Original im Archiv von XII Apostoli bei A. Bandini, De Vita et Rebus gestis Bessarionis Cardinalis Nicaeni Commentarius. Romae 1777. Appendix II p. 118 (fehlerhaft nachgedruckt bei Migne PG 161, Col. LXIV). Die Statuten ebenda p. 118—125 (Migne l. c. LXV—LXX).



ΙΩΑΝΝΙΝΑ 2006

pliatione divini cultus respicere, ac etiam ex debito nostri tituli, quo eidem praesidentes ecclesiae ad id nos cognoscimus obligatos, infrascriptas edidimus super reformatione praefatae ecclesiae ac ministrorum eius constitutiones et reformationes tam spiritualium quam temporalium. Ad eas igitur, filii dilecti, inclinate unanimiter aures vestras, adhibite promptitudinis intellectum, colligentes seminum fructus, quos in agro vestrae devotionis providentia paterna conspergit, sic ea culturi studio diligenti, quod sparsa fructificent et operosi laboris speratam utilitatem conducant. Eas igitur huiusmodi constitutiones et ordinationes vobis et cuilibet vestrum sub poenis in iis constitutis observari praecipimus et mandamus.

L 134v

**15. Beatissimo Patri Eugenio Papae IV**

Sanctissimo Maximoque Pontifici
**Bessarion Cardinalis**
Graecus, Basilicae Duodecim Apostolorum
Almaeque Sanctitati Suae Dicatissimus.

Cum cogitarem, pater sanctissime, quodnam tibi congruum offeram munus tum pro ista praeclarissima Latinorum atque Graecorum adeo per te tuosque labores, curas, opem impensamque ingentem unione perfecta, tum pro clementia atque inenarrabili benevolentia erga me tua, nihil praestantius, nihil aptius, nihil profecto gratius tibi potui invenire, quam aliquid, quod ad nostram pertineat sanctam religionem, tibi offerre, cum ista omnia huiusce saeculi te neglexisse percepimus ac illa, quae sola permanent, desiderasse. Nam tu ille es, qui Christum ab ipsa secutus adolescentia es, tu qui a teneris, ut aiunt, unguiculis mundum et omnia neglexisti mundana. Idcirco et merito non modo in hoc saeculo centuplum tibi praebuit Dominus, cum omnium patrem et principem ⟨te⟩ constituerit, sed certe et in futurum aeternam vitam possidere concedet, praesertim cum in hac quoque dignitate et evangelii praedicationis officio tantum profecisti, ut non mediocre incrementum et dilatationem habeat ecclesia Dei. Tu enim graecam illam

---

20 benevolentia P benivolentia L | 24 Christum L christianismum P | 26 neglexisti L neglisti P

Ep. 15. Ein Widmungsschreiben an Eugen IV zur Überreichung von Basilius' Adversus Eunomium in der Übersetzung des Georgios Trapezuntios. Bemerkenswert ist noch seine Wertschätzung des Georgios. Das Schreiben stammt aus der Zeit von 1443—47.

Überlieferung: Florenz, Laur. Plut. 17. cod. lat. 31 fol. 134v—136 (= L). Venedig, Cod. Marc. lat. 45. Rom, Cod. Urbinat. lat. 518, fol. 2—3v. Paris, Bibl. Nat. Cod. lat. 1703, fol. 1—3 (= P). — Druckausgabe: H. Vast, Le Cardinal Bessarion, Paris 1878, p. 450—452.

praeclarissimam sapientissimamque nationem, unde omnis est ortus sapientiae fons, una cum Triballis, Illyriis, Flacchis ambobus, Sarmatis utrisque, Albanis, Iberis, Colchis, Cappadocibus, Pamphylis, Galatis necnon et aliis patriarchalibus sedibus multisque aliis amplissimis nationibus, quae omnes graecam sequebantur ecclesiam ritusque eius et caeremonias celebrabant, sanctae Romanae reconciliasti ecclesiae. Tu reduxisti Armenos per totum fere orbem diffusos ac sparsos. Jacobitarum gentes venerunt, ut fidei veritatem per te doceantur. Tu et excitasti Aethiopes, quorum innumerabilis numerus est atque inexpugnabile potentissimumque imperium, et adhuc vigilas, ut ad fidem catholicam eos allicias. E quibus ambobus, quantum in te est, nisi isti oculos claudant, non modicum fructum ecclesia Dei est habitura. Quis enarrabit aut quis numerabit vel laudes tuas vel res gestas? Cum ergo talem te ipsum, Eugeni, pater sanctissime, constitueris, qui merito vocatus Eugenius es, — nam eugenius nobilem graece significat et a stirpe ortum praeclara, — cumque despectione omnis terrenae nobilitatis nobilitatem caelestem sis assecutus, quod munus, nisi quod ad communem gregis tui utilitatem et catholicam fidem pertineat, tibi magis conveniat?

Talia vero iudico esse, quae ille noster beatus Basilius, spiritus tuba, instrumentum gratiarum, sapientiae pelagus, cognitionis terminus, quem nescio quo nomine quis digne posset appellare, adversus Eunomium impium ac etiam alia ad sanctum Amphilochium, Iconiensem episcopum, non absque inspiratione divina pro unigeniti ac spiritus sancti deitate conscripta volumina edidit, quae Nazianzenus ille magnus Gregorius merito igni comparat Sodomitico. Nam partim sententiarum gravitate, partim compositionis pulchritudine, et tum optimarum rationum inventione, tum summa persuadendi virtute haereticorum linguas facile in cinerem redigunt. Cuius oratio cum tantam vim ac dignitatem possideat, ut difficile sit in lingua graeca gravius aliquid aut elegantius invenire, per hominem non modo paternae et graecae, sed etiam latinae linguae peritissimum, Georgium Trapezuntium, virum sane eloquentissimum ac disertissimum, tuaeque sanctitati deditum, feci transferri. Quae res ut fieret, idcirco dedi operam, quod et Latinorum generi, omni doctrina, omni virtute, omni sapientia ingeniique splendore praedito, puto me fecisse gratissimum, qui quamvis Hilarium, Augustinum, Hieronymum, Leonem, Gregorium aliosque habeant beatissimos suos doctores, viros, qui doctrina et sanctitate tam naturae quam spiritus profunditates investigarunt, quos qui legunt, in caelo et in caelestibus conversari et quasi Dei audire videntur oracula, non

3 Iberis P Hiberis L | 3 Galatis P Galathis L | 6 celebrabant L celebrant P | 9 Aethiopes] Ethiopes L P



Ε.Υ. Δ της Κ.Β.Ι ΙΩΑΝΝΙΝΑ 2006

tamen satis habent, nisi etiam eos, qui similia ipsis sentierunt et eodem spiritu participarunt, in suam traductos possideant linguam. Et his, inquam, hoc existimo gratum fore et tuae beatitudini munus acceptum, qui pro clementia solita laeto animo filiorum tuorum, etsi minima sunt, munuscula accipis. Tantumque magis tibi gratius erit, quantum hoc donum et Latinis accipere et mihi offerre congruum est; mihi quidem, quoniam magnam hinc de processione spiritus sancti utilitatem ad cognoscendam capessendamque fidei veritatem tum toto genere meo recepimus, cum de ista materia Latinis contendebamus; Latinis vero, non solum quod magna doctrina refertum est, verum etiam quia pro ipsis, id est pro veritate pugnat. Nam in tertio sermone palam ex filio spiritus habere esse dicitur et a causa eius dependere. Per totumque librum multa et bona, quae ad eandem sententiam ducunt, dicta sunt. Accipias igitur, tu beatissime pater, qui Latinorum, qui Graecorum, qui omnium es caput Christianorum, praestantissimum munus, tuaeque sanctitati conveniens, beatissimi patris Basilii, Caesareae Cappadociensis divini pastoris ac orbis terrarum illuminatoris atque doctoris, praeclarissima opera, haec quidem contra impium Eunomium illum, haec vero ad beatum Amphilochium decadem materia edita, quae quamvis per se suique auctoris dignitatem maxima sint, mei tamen offerentis respectu tantaeque magnitudinis tuorum erga me meritorum minima iudicabuntur. Non enim ignoro, quantum sanctitas tua bene merita sit, clementissime pater.

### 16. Bessarion

Cardinalis Duodecim Apostolorum

**Thomae de Sarzana**

Sacrae Paginae Magistro Bene Merito Salutem.

P 95 Quamvis mihi numquam in mentem venerat beato Basilio editum in nativitate Domini nostri summa cum eloquentia ac gravitate sermonem, a me in primordio studiorum meorum latinis in litteris exer-

24 Bessarion ] Vissarion P | 26 Sarzana ] Serezana P

Ep. 16. Ein Widmungsschreiben an Thomas von Sarzana, den späteren Nikolaus V., dem er damit seine Übersetzung von Basilius' Homilie auf die Geburt des Herrn überreicht. Für die Abfassungszeit kommt als frühester terminus post quem das Jahr 1441 in Betracht, seitdem Bessarion sich an der römischen Kurie befand. Er mußte sich aber erst noch lateinische Kenntnisse erwerben und wird auch einige Zeit gebraucht haben, bis er diese Homilien übersetzen konnte. Terminus ante quem ist 1446; denn Thomas, der am 16. Dezember 1446 Kardinal wurde, wird hier noch als sacrae paginae magister betitelt.

Überlieferung: Paris, Bibl. Nat. Cod. lat. 1703, fol. 95 (= P). Erstmalige Ausgabe bei H. Vast, Le Cardinal Bessarion. Paris 1878, p. 452 s.

cendi ingenii mei causa e graeco translatum, ut tunc illa minima in his litteris suppeditabat scientia, in publicum promere, ne interpretis imperitia ac ignorantia admirabili illi doctrinae et auctoritate disertissimi doctoris imputetur, apud illos praesertim, qui nullam aut minimam sui notitiam habeant nec cognoscant, quo cum ornatu, quantove pondere omnia sua opera ter ille quaterque beatus in sua edidit lingua, ut tibi tamen gererem morem, viro tum doctrina atque scientia, tum etiam moribus cultissimo atque ornatissimo, mittere tibi eum decrevi, cum non possim tuae ferventi atque flagranti petitioni negare, ut aliqua ex parte laude dignam tuam exstinguam sitim ac insitam tibi inexhaustam aviditatem legendi, volvendique libros huius beatissimi patris possim implere, qui tam cupidus, tamque affectus illius exsistas operibus, ut nihil supra. Quae cum, ut soles, attente ac accurate summa cum admiratione perlegeris, velim ignoscas interpreti, si tam ornate in graeco compositum tam indiserte transtulit in latinum, cum certo me scias tum ob reverentiam atque devotionem, quam erga illum gero beatissimum patrem, hanc rem aggressum fuisse potius quam ob audaciam ac in me ipso confidentiam, tum etiam cum non edidissem in publicum, nisi tu contentione maxima petiisses.

## 17. Bessarionis Cardinalis Nicaeni

In novam Metaphysicorum Aristotelis Translationem

**Ad Alphonsum Regem Aragonum et utriusque Siciliae**

Praefatio.

Bessarion Alphonso, inclyto atque invictissimo regi, salutem. M 5
Magnum illum Alexandrum Macedonem, inclyte atque invictissime princeps, editionem metaphysicorum Aristotelis, quibus apprime eru-

---

18 cum ] quum P | 20 *Suprascriptio sec. A* ] M *Z V* Bessarionis episcopi Tusculani, Sanctae Romanae Ecclesiae cardinalis, in novam metaphysicorum Aristotelis translationem praefatio incipit feliciter ad Alphonsum, serenissimum atque illustrissimum principem Aragonum et utriusque Siciliae regem invictissimum | 24 Bessarion ... salutem M *V* ] *A Z om.* | 25 atque M *A V* et *Z*

Ep. 17. Bessarion widmet König Alfons von Neapel seine Übersetzung von Aristoteles' Metaphysik. Wichtig ist die Angabe, daß die Anregung zu dem Werk schon vor Nikolaus' V Plan zu einer neuen Übersetzung des Aristoteles von dem König ausgegangen ist.

Überlieferung: Venedig, Cod. Marc. lat. 490 (Zanetti); Class. X Cod. 94 (Valentinelli) chart. saec. XV; von Bessarion eigenhändig (= M); Cesena, Bibl. Malatesta Plut. IV Cod. 2.; Cues, Cod. 184 (aus dem Besitz des Kard. Nikolaus von Cues; fol. 102ᵛ: Istam translationem fecit rev. d. card. Nicenus, que non posset esse melior, et feci corrigi librum ex originali de manu eiusdem d. cardinalis 1453); Escurial, Cod. lat. f. III 26, fol. 3. [Sign. ant. IV K. 17] (das Geschenkexemplar für König Alfons). —